σοῦ. διὸ δεῖ σκοπεῖν χωρὶς, εἰ ἄξιος ὁ παθὼν παθεῖν, καὶ ὁ ποιήσας ποιῆσαι· εἶτα χρῆσθαι, ὁποτέρως ἁρμόττῃ· ἐνίοτε γὰρ διαφωνεῖ τὸ τοιοῦτο· καὶ οὐδὲν κωλύει, ὥσπερ ἐν τῷ Ἀλκμαίωνι τῷ Θεοδέκτου.

Μητέρα δὲ τὴν σὴν οὔτις ἐστύγει βροτῶν; φησὶ δ' ἀποκρινόμενος,

Ἀλλὰ διαλαβόντα χρὴ σκοπεῖν.

ἐρομένης δὲ τῆς Ἀλφεσιβοίας, πῶς; ὑπολαβὼν φησί,

Σὴν μὲν θανεῖν ἔκριναν, ἐμὲ δὲ μὴ κτανεῖν.

καὶ οἷον ἡ περὶ Δημοσθένους δίκη, καὶ τῶν ἀποκτεινάντων Νικάνορα· ἐπεὶ γὰρ δικαίως ἐκρίθησαν ἀποκτεῖναι, δικαίως ἔδοξεν ἀποθανεῖν. καὶ περὶ τοῦ Θήβησιν ἀποθανόντος, περὶ οὗ ἐκέλευσε κρῖναι, εἰ δίκαιος ἦν ἀποθανεῖν, ὡς οὐκ ἄδικον ὂν ἀποκτεῖναι τὸν ἀδικαίως ἀποθανόντα. ἄλλος ἐκ τοῦ μᾶλλον καὶ ἧττον. οἷον, εἰ μηδ' οἱ θεοὶ πάντα ἴσασι, σχολῇ οἵ γε ἄνθρωποι· τοῦτο γάρ ἐστιν, εἰ ᾧ μᾶλλον ἂν ὑπάρχοι, μὴ ὑπάρχει, δῆλον ὅτι οὐδ' ᾧ ἧττον. τὸ δ', ὅτι τοὺς πλησίον τύπτει, ὅς γε καὶ τὸν πατέρα τύπτει, ἐκ τοῦ, εἰ τὸ ἧττον ὑπάρχει, καὶ τὸ μᾶλλον ὑπάρχει· καθ' ὁπότερον ἂν δέῃ δεῖξαι, εἴθ' ὅτι ὑπάρχει, εἴθ' ὅτι οὔ. ἔτι εἰ μήτε μᾶλλον, μήτε ἧττον· ὅθεν εἴρηται,

Καὶ σὸς μὲν οἰκτρὸς παῖδας ἀπολέσας πατήρ.

Οἰνεὺς δ' ἄρ' οὐχὶ, τὸν Ἑλλάδος ἀπολέσας Κλεινὸν γόνον; καὶ ὅτι, εἰ μηδὲ Θησεὺς ἠδίκησεν, οὐδ' Ἀλέξανδρος. καὶ, εἰ μὴ οἱ Τυνδαρίδαι, οὐδ' Ἀλέξανδρος. καὶ, εἰ Πάτροκλον Ἕκτωρ, καὶ Ἀχιλλέα Ἀλέξανδρος. καὶ, εἰ μηδ' οἱ ἄλλοι τεχνῖται φαῦλοι, οὐδ' οἱ φιλόσοφοι. καὶ, εἰ μηδ' οἱ στρατηγοὶ φαῦλοι, ὅτι ἡττῶνται πολλάκις, οὐδ' οἱ σοφισταί. καὶ, ὅτι εἰ δεῖ τὸν ἰδιώτην τῆς ὑμετέρας δόξης ἐπιμελεῖσθαι, καὶ ὑμᾶς τῆς τῶν Ἑλλήνων. ἄλλος, ἐκ τοῦ τὸν χρόνον σκοπεῖν, οἷον, ὡς Ἰφικράτης ἐν τῇ πρὸς Ἁρμόδιον, ὅτι εἰ πρὶν ποιῆσαι ἠξίουν τῆς εἰκόνος τυχεῖν, ἐὰν ποιήσω, ἔδοτε ἄν· ποιήσαντι δ', ἄρ' οὐ δώσετε; μὴ τοίνυν μέλλοντες μὲν, ὑπισχνεῖσθε· παθόντες δ', ἀφαιρεῖσθε. καὶ πάλιν πρὸς τὸ Θηβαίους Φίλιππον διιέναι εἰς τὴν Ἀττικὴν, ὅτι εἰ πρὶν βοηθῆσαι εἰς Φωκεῖς ἠξίου, ὑπέσχοντο ἄν· ἄτοπον οὖν εἰ διότι προεῖτο καὶ ἐπίστευσε, μὴ διήσουσι. ἄλλος ἐκ τῶν εἰρημένων καθ' αὑτοὺς πρὸς τὸν εἰπόντα· διαφέρει δὲ ὁ τρόπος, οἷον ἐν τῷ Τεύκρῳ, ᾧ ἐχρήσατο Ἰφικράτης πρὸς Ἀριστοφῶντα,

A verùm fortasse non à te. Quamobrem oportet considerare separatim, an qui passus est, dignus fuerit, qui pateretur, & qui fecit dignus fuerit, qui faceret. deinde vti, in vtram partem conuenerit: nonnunquam enim differt hoc, & nihil prohibet, vt in Alcmæone Theodectis: Matrem
B tuam nemo odio habebat mortalium? Affirmat verò respondens: sed distinctè considerare oportet. Quærente verò Alphesibœa, Quomodo, Assumens dixit, Necari quidem decreuerunt, verùm me non interficere. & vt de Demosthene iudicium, & iis, qui interfecerunt Nicanorem. Quoniam enim iustè iudicati sunt necasse, iustè visus est necatus. Et de eo, qui Thebis necatus est, de quo mandatum est iudi-
C cium, num dignus esset, qui moreretur, quasi non iniustum esset mori, qui iustè moreretur. Alius ex maiori, & minori, vt si neque Dij omnia sciunt, multo minus homines. Hoc enim est, si cui magis inesse deberet, non inest, profectò neque cui minus. Illud autem, Propinquos verberat, qui etiam patrem, ex eo est, si quod minus inest, etiam quod magis inest, in vtrã partem oportebit demonstrare, siue inesse, si-
D ue non. Præterea si neque magis, neque minus. Vnde dictum est: Et tuus quidem miserandus, cùm filios amiserit, pater. Oeneus autem non, cùm Græciæ amiserit præstantissimum filium? Et quòd, si non fecit Theseus iniustè, ne Alexander quidem. Et, si non Tyndaridæ, neque Alexander. Et, si Patroclum Hector, & Achillem Alexander. Et, si non alij artifices mali, neque Philosophi. Et, si non imperato-
E res mali, quòd vincuntur sæpe, neque sophistæ. Et, si oportet priuatum vestræ gloriæ curam habere, & vos Græcorum. Alius, in tempus intueri, vt Iphicrates in ea aduersus Harmodium: Si priusquam facerem, postulassem, vt statua donarer, si fecissem, concessissetis: cùm fecerim verò non concedetis: Ne igitur beneficium expectantes promittatis: beneficio autem accepto denegetis. Et rursus, vt Thebani
F Philippo aditum darent in Atticam, quòd si priusquam opem ferret in Phocenses, postulasset, promisissent. Absurdum igitur est, si quia neglexit, & credidit, non permiserint. Alius ex dictis secundum ipsos aduersus eum, qui dixit. Eminet autem hic modus, vt in Teucro, vsus est eo Iphicrates contra Aristophontem,